**ΕΙΣΑΓΩΓΗ ΣΤΗΝ ΕΛΛΗΝΙΚΗ ΕΠΙΓΡΑΦΙΚΗ**

Σοφία Ανεζίρη

ΠΑΡΑΔΕΙΓΜΑΤΑ ΧΡΟΝΟΛΟΓΗΣΗΣ ΕΛΛΗΝΙΚΩΝ ΕΠΙΓΡΑΦΩΝ

**1) H. Schmitt, *Die Verträge der griechisch-römischen Welt von 700 bis 338 v. Chr.*, 1975, αρ. 223**

*[συμ]μαχία Βοιω[τῶν καὶ Ἀ]θηναί[ων ἐς τὸ]-*
*[ν ἀεὶ] χρόνον.{vacat}*
*[ἐάν τ]ις ἴηι ἐπ' Ἀθηναίος] ἐπ[ὶ] πολέμω[ι ἢ]*
*κατὰ] γῆν ἢ κατ[ὰ θάλαττ]αν, βοηθεν̑ Βοι[ω]-*
*[τὸς π]αντὶ σθέ[νει καθ]ότι ἂν ἐπαγγέλλ-*
*[ωσιν] Ἀθηναῖ[οι κατὰ τὸ] δυνατόν, καὶ ἐ[ά]-*
*[ν τις ἴ]ηι ἐπὶ [Βοιωτὸς ἐ]πὶ πολέμωι ἢ [κα]-*
*[τὰ γῆν ἢ] κατὰ [θάλατταν], βοηθεν̑ Ἀθηνα[ί]-*
*[ος παντὶ σθένει καθότι] ἂν ἐπαγγέλλ[ω]-*
*[ι Βοιωτοὶ κατὰ τὸ δυνα]τόν· ἐὰν δέ τ[ι δ]-*
*[οκῆι ἢ προσθεῖναι ἢ ἀφελεῖ]ν Ἀθην[αίο]-*
*[ις καὶ Βοιωτοῖς κοινῆι βουλευομένο]-*
*[ις— — — — — — — — — — — — —]*

**2) *IG* II² 949**

Αθήνα

*ἐπὶ Πέλοπος ἄρχοντος ἐπὶ τῆς Πτολεμαΐδος δωδεκάτης πρυτανείας,*
*ἧι Διονυσικλῆς Διονυσίου Ἑκαλῆθεν ἐγραμμάτευεν· Σκιροφοριῶνος ἕ-*
*κτει ἐπὶ δέκα, ἕκτει καὶ δεκάτει τῆς πρυτανείας· ἐκκλησία ἐν τῶι θε-*
*άτρωι· τῶν προέδρων ἐπεψήφιζεν Ῥηξίων Δαματρίου Θοραιεὺς καὶ συμ-*
*πρόεδροι· ἔδοξεν τεῖ βουλεῖ καὶ τῶι δήμωι·*

**3) *LSAM* 18 (F. Sokolowski, *Lois sacrées de l'Asie Mineure*, 1955)**

Μαιονία/Λυδία

*βασιλεύοντος Ἀ̣ττά̣[λου]*
*ἔτους τρεισκαιδεκάτου.*
*ἀγαθῆι τύχη ἔστησαν*
*τὴν στήλην …*

**4) *TestSal* 97 (J. Pouilloux – P. Roesch – J. Marcillet-Jaubert, *Salamine de Chypre* XIII. *Testimonia Salaminia* 2. *Corpus épigraphique*, 1987)**

Σαλαμίνα/Κύπρος

*[Δ]ιογένης Νουμ[η]νίου ὁ συ[γ]γενὴς*
*τῶν βασιλέων καὶ στρατηγὸς*

*τῆς νήσου καὶ Κιλικίας*
*Στασικράτην Στασικράτους*
*γυμνασιαρχήσαντα τὸ ιδ’ (ἔτους)*
*τὸν ἑαυτοῦ φίλον. (ἔτος) ιε’ Ἄθυρ ιθ.*

**5) *TestSal* 143**

Σαλαμίνα/Κύπρος

*[Αὐ]τοκράτορι Καίσαρι θεοῦ*
*Τραιανοῦ Παρ[θικοῦ υἱῷ, θ]εοῦ Νερούα*
*υἱωνῷ, Τραια[νῷ Ἁδριανῷ Σεβα]στῷ,*
*ἀρχιερεῖ με[γίστῳ, δημαρχιχῆς] ἐξουσίας*
*τὸ ιδ’ ἔτος, ὑπά[τῳ τὸ γ’, π]ατ[ρὶ] πατρίδος,*
*τῷ σωτῆρι καὶ εὐεργέτῃ τοῦ κόσμου*
*παντός, οἱ κατὰ Σαλαμεῖνα*
*λίνυφοι.*

**6) *TestSal* 48**

Σαλαμίνα/Κύπρος

*Διὶ Ὀλυμπίωι*
*Κυπρίων τὸ κοινὸν Ἔμπυλον*
*Ἐμπύλου τοῦ Χαρία γυμνασιαρχή-*
*σαντα τὸ θ’ (ἔτος) ἐκ τοῦ ἰδίου προῖκα.*

**7) *EKM* I, 18 (= L. Gounaropolou, M. Hatzopoulos, *Επιγραφές Κάτω Μακεδονίας* I, 1998)**

Βέροια

*ἔτους η’ καὶ ι’*
*Μαρσύας Δημητρίου*
*Ἀπόλλωνι, Ἀσκληπιῶι, Ὑγιείαι*
*τὸ ἐνκοιμητήριον λίθινον*
*καὶ τὴν πρὸ τούτου ἐξέδραν*
*κατεσκεύασεν ἐκ τοῦ ἰδίου.*

**8) *EKM* 1, 24**

Βέροια

*Μαρσύας Δημητρίου*
*Λυσανίας Λυσανίου*
*Ἀριστόνους Διονυσίου*
*ἀγορανομήσαντες Ἑρμεῖ*
*καὶ ὁ γραμματεὺς Λάαν-*
*δρος Ὀλυμπιοδώρου.*

**9) *EKM* 1, 68**

Βέροια

*ἀγαθῆι τύχηι.*
*ὑπὲρ ὑγείας καὶ σωτηρίας καὶ νίκης καὶ αἰωνίου διαμονῆς τοῦ με-*
*γίστου καὶ θειοτάτου καὶ ἀηττήτου κυρίου ἡμῶν Αὐτοκράτορος Καίσα-*
*ρος· Μ(άρκου) Αὐρηλίου Σεουήρου ⟦[Ἀλεξάνδρου]⟧ Εὐσεβοῦς, Εὐτυχοῦς, Σεβαστοῦ, ἀρ-*
*χιερέως μεγίστου, δημαρχικῆς ἐξουσίας τὸ ὄγδοον, ὑπάτου τὸ γʹ, πατρὸς πατρί-*
*δος, καὶ ὑπὲρ τῆς ἱερωτάτης μητρὸς αὐτοῦ ⟦[Ιουλίας Μαμαίας]⟧ Σεβαστῆς καὶ ὑ-*
*πὲρ τοῦ σύμπαντος θείου οἴκου αὐτῶν καὶ ἱερᾶς συνκλήτου καὶ τῶν δια-*
*σημοτάτων ἐπάρχων καὶ ἱερῶν στρατευμάτων καὶ δήμου τοῦ Ῥωμαί-*
*ων, Οὐαλεριανὸς Φιλόξενος ὁ μακεδονιάρχης καὶ ἀρχιερεὺς τοῦ Σε-*
*βαστοῦ καὶ ἀγωνοθέτης τοῦ κοινοῦ τῶν Μακεδόνων ἀγῶνος ἀλεξαν-*
*δρείου καὶ ἡ γυνὴ αὐτοῦ Οὐαλεριανὴ Ἀμμία ἡ ἀρχιέρεια τῆς Σεβαστῆς*
*ἐπιτελέσουσιν ἐν τῇ λαμπροτάτῃ μητροπόλει τῆς Μακεδονί-*
*ας Βεροιαίων πόλει κυνηγεσίων καὶ μονομαχιῶν ἡμέρας*
*τρεῖς. ἄρξονται δὲ τῶν φιλοτειμιῶν τῇ πρὸ · ζʹ · καλ(ανδῶν) Ἰουλίων,*
*Αὐτοκράτορι Καίσαρι Μ(άρκῳ) Αὐρηλίῳ Σεου<ή>ρῳ ⟦[Ἀλεξάνδρ]⟧ ῳ Εὐσεβεῖ, Εὐ-*
*τυχεῖ, Σεβαστῷ τὸ γʹ καὶ Κλ(αυδίῳ) Κασσίῳ Δίωνι τὸ βʹ·ὑπάτοις, ἑλληνι-*
*κῇ δὲ ἔτους ξσ σεβαστοῦ τοῦ καὶ ϛο·τ Πανήμου ειʹ.*
*vacat εὐτυχεῖτε. vacat*